Ephraem <Syrus>; Assemani, Giuseppe Simone [Hrsg.]: Sancti Patris Nostri Ephraem Syri Opera Omnia: quae exstant, graece, syriace, latine; in sex tomos distributa; ad MSS. Codices Vaticanos aliosque castigata, multis aucta, Nova interpretatione, Praefationibus, Notis, variantibus Lectionibus illustrata: Nunc primum sub Auspiciis Sanctissimi Patris ... Pontifecis Maximi e Bibliotheca Vaticana (Tomus Primus Graece, Et Latine)

1732 Seite 125



ξε τὰς φύσεις, καὶ εὗρεν αὐτὰς ἐλέους χρηζούσας ὡς ἅτε δὴ τρεπτάς. οἶδε δὲ ὅτι πλείονι τῇ χάριτι ὑφίστανται. τῇ γὰρ φύσει ἐπεμέτρησε τὴν οὐσίαν τὴν ἑαυτοῦ, ἵνα ὑποστῇ· τὸ δὲ πλέον ἐταμιεύσατο φειδόμενος· πρὸς τὴν δύναμιν ἔταξε καὶ τὴν σύνεσιν, ἵνα μὴ ὑπερηφανίας αὐτοῖς γένηται αἴτιος· ὥσπερ παῖδας οἱ ἐπαλείφοντες εἰς κακὸν, αὐτοὶ μᾶλλον γίνονται οἱ αἴτιοι. ἔδωκεν ὅσα ἐχώρουν, καὶ συνέγνω ὃ μὴ ἐχώρουν. οὐδένα γὰρ ἀπαιτεῖ πλεῖον τῆς δυνάμεως· μὴ τοίνυν κατηγορεῖτε τῆς δυνάμεως αὐτοῦ ὦ ἄνθρωποι· ὅτι οὐκ ἐποίησε χωρῆσαι τὴν φύσιν τὰ μὴ δυνάμενα· οὐχ ὁ δημιουργὸς γὰρ αἴτιος· ἀλλ' ἡ γένεσις. Ἔχει τὴν τέχνην ὁ χρυσουργὸς, ἀλλὰ πλέον τι ἐπιποιῆσαι αὐτῷ οὐ θέλει, ἐπειδὴ οὐκ ἐπιδέχεται· καὶ ὁ Θεὸς δυνάμενος, παύεται· ὅτι ὁ χωρῶν αὐτὸν οὐκ ἔστι. δὸς ὕλην πλεῖόν τι τοῦ χρυσοῦ ἔχουσαν· καὶ ὁ τεχνίτης ἕτοιμος τὸ οἰκεῖον χάριν ἐπιβαλεῖν· οὐδεὶς γὰρ πλείονα νοῶν ἐστι τῆς ὕλης τοῦ χρυσοῦ, ἀφ' ἑαυτοῦ ὑποβάλλει ὕλην γενέσθαι εἰς τὸ ὅμοιον. καὶ ὁ Θεὸς νοήσας πάντα τὰ θαύματα, ἔγνω καθ' ἑαυτοῦ τὴν φύσιν ἐστὶ ὕλην μὴ δύνασθαι. Ἐν τοῖς γεννητοῖς ὑπερέβαλε τῷ πλούτῳ. ἀγέννητον δὲ γεννητὸν ἐστὶ, οὔτε ἐνενόησεν, οὔτε εὗρεν, οὔτε ἐποίησεν· εἰ ἔδειξεν ἐκ τοῦ γεννητοῦ ἀγέννητον, κατηγορεῖ τῆς ἰδίας φύσεως ὅτι καὶ αὐτὴ γέγονε, καὶ ἅπερ ἐποίησε χρησάμενος, οὐ μὴν δὲ ἐκ τῆς σοφίας αὐτοῦ προήγαγεν. οὐκ ἔστιν ἂν ἐπίληπτος ὁ Θεὸς τῆς οἰκείας δυνάμεως ὦ ἄνθρωποι· μείζονα γὰρ δυνάμενος ἐν τῷ γεννητῷ, ὡς ἐνεχώρουν ἐπραγματεύσατο. Οἶδα ἐμπόρους πολλοὺς ὅτι καὶ ὑπὲρ ἃ ἔχουσι, δύνανται· ἐν τοῖς οὖσι γὰρ πάντα εὐδοκιμοῦσιν· εἰ δὲ μὴ ἐν τοῖς οὖσιν, δυσχερῶς ἐμπορεύονται. Καὶ ὁ Θεὸς εἰ μὴ τὰ ὄντα εὐκόλως ἐποίησεν, εἰκότως νομίζετε, οἱ θέλοντες ἐπιλαμβάνεσθαι, ὅτι πλεῖον οὐ δύναται. Θέλετε ἰδεῖν εὐκολίαν ἄφατον; τοὺς οὐρανοὺς καὶ τὰ ἐν αὐτοῖς λόγῳ ἐποίησε· δι' ὧν συνίστησι μᾶλλον καὶ πλέον δύνασθαι· ἀλλ' ὅτι ἡ γεννητὴ φύσις οὐκ ἐπιδέχεται. Οἶδα τεχνίτας πλείονα τῆς ὕλης ἐπινοοῦντας, καὶ πείθουσιν ἐκ τῶν παρὰ χειρῶν διαπρέποντες· πόσῳ οὖν μᾶλλον ὁ Θεὸς πεῖσαι δύνασθαι τοσαύτην εὐπρέπειαν ἐν τοῖς οὖσιν ἀποτυπωσάμενος. Ὅσῳ δὲ λόγου ἔργον θεμελιωδέστερον, τοσούτῳ ἀπείρῳ συγκεῖται ἡ τοῦ Θεοῦ δύναμις περιττεύει πρὸς τὰ γινόμενα. Ἐποίησεν οὖν τὰ πάντα πρὸς τὴν ἑκάστου χρείαν· οὐχ ὑπό τινος ἀνάγκης τὰς διαφο-

A pere potuit. Naturas constituit; & ipsas, utpote mutabiles, misericordiæ indigere reperit: noverat quippe majori eas gratia subsistere. Naturæ enim suam essentiam impertivit, ut subsisteret: sed quod est amplius, pro cujusque viribus misericorditer tribuit intelligendi facultatem, ne superbiæ illis occasio esset: sicut qui pueros ad malum exercent, ipsi magis rei sunt. Quod capere poterant, dedit eis: & quod non poterant, B ignovit: cum a nemine quod vires superet, exigat. Ne igitur, o mortales, ejus potentiam incusaveritis, quod naturam non fecerit ea capere, quæ capi nequeunt: non enim opifex in causa est, sed ipsa creatura. Artem habet aurifex; sed ei non plus tribuere vult, quam capere possit: sic quoque Deus, quamvis possit, non tamen amplius tribuit, quam rei cujusquam natura patiatur. Et artifex congruentem volens operi suo attribuere ve- C nustatem, tantam auri materiam adhibet, quantam capit, & non amplius; licet multum illi adhuc auri supersit: nullus enim opifex intelligens adesse plus materiæ auri, de suo subjicit materiam, ut imago perficiatur. Et Deus cum novit omnia admiranda, novit etiam suæ naturæ similem materiam esse non posse. Maximas divitias in res creatas effudit. Sed quod fieri non potest, ut id fieret, neque cogitavit, neque invenit, neque D fecit. Si rem factam efficeret infectam, suam naturam accusaret, quasi ipsa quoque facta esset, & quæcumque volens fecit, non ex sua sapientia produxisset. Non est comprehensibilis Dei potestas, o mortales: cum enim majora possit in rebus creatis, egit quantum capaces erant. Novi mercatores multos posse etiam supra quam possideant. Nam propter illa, quæ habent, in omnibus fides eis habetur: at non nisi iis quæ possi- E dent, facile negotiantur. Deus quoque nisi res, quæ sunt, facile fecisset, jure existimaretis qui vultis reprehendere, eum plura non potuisse. Vultis ineffabilem potestatis ejus cernere facultatem? Cœlos, & quæcumque in eis sunt, verbo fecit: ex quibus constat, multo majora ac plura cum posse: sed natura procreata amplius non capit. Novi artifices plura quam materia ferat, excogitare, & ex iis, quæ promte & expedite F elaborant, suæ artis præstantiam declarare. Quanto ergo magis credere oportet, Deum in rebus a se creatis tantum decorem atque pulchritudinem exprimere posse. Quanto autem verbis præstantiora sunt opera: tanto citra ullam comparationem rebus procreatis divina præcellit virtus atque potentia. Fecit igitur cuncta ad uniuscujusque necessitatem. Non tamen ulla ipse coactus necessitate tot diffe-



http://dl.ub.uni-freiburg.de/diglit/ephraem1732-1/0373
© Universitätsbibliothek Freiburg
gefördert durch Baden-Württemberg